# ΔΙΑΛΟΓΟΣ

## ΜΑΞΙΜΟΥ ΤΟΥ ΜΑΡΓΟΥΝΙΟΥ

### Ταπεινοῦ Κυθήρων Ἐπισκόπου.

Τὰ πρόσωπα,

ΓΡΑΙΚΟΣ καὶ ΛΑΤΙΝΟΣ: ἤτοι, ΟΡΘΟΔΟΞΟΣ καὶ ΛΑΤΙΝΟΣ.

Ἀρχομένου πρώτου τοῦ ΛΑΤΙΝΟΥ, καὶ ἀποκρινομένου τοῦ ΓΡΑΙΚΟΥ.

Ο ΛΑΤΙΝΟΣ.

Διατί ἀποσχίζεσθε ἀφ' ἡμῶν, καὶ οὐ συγκοινωνεῖτε οὐδαμῶς ἡμῖν, χριστιανοῖς οὖσι, καὶ χθὲς καὶ πρότερον συμμετεσχηκόσιν ἡμῖν, τῆς αὐτῆς θείας ἀναγεννήσεως, ὡς δὲ καὶ τῆς ἱερᾶς καὶ θείας τραπέζης, ὡς ἐν μεθ' ἡμῶν οὖσι σῶμα Χριστοῦ. νῦν δὲ ἐξ ἡμῶν, ὡς ἀπὸ ὄφεως ἐκδιδράσκετε; φράζε οὖν ἡμῖν ἀδεῶς τε καὶ φιλαλήθως, ἵν' εὖ ἴδω-
μεν τὸ αἴτιον τῆς πηλίκης ταυτησὶ διαστάσεως, οὐ γὰρ τί δέος ἐπείσειν 1586.
ἡμῖν ἐνταῦθα, μήτ' ἀληθῆ προφέρειν· καὶ ἐν τῷ παρόντι ἔτει, δηλαδὴ τῷ ὀγδοηκοστῷ ἕκτῳ, βαρύτατος τῶν πώποτε μνημονευομένων διωγμός τε καὶ κίνδυνος, τοῖς μὴ βουλομένοις συγκοινωνεῖν ἡμῖν, ἐπήρτηται.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Ἐπειδὴ περ αἰτεῖς ἀδεῶς τε καὶ φιλαλήθως παρ' ἡμῶν μαθεῖν τὸ τῆς διαστάσεως αἴτιον, ἤδη σοι φράζω. οὕτω καὶ γὰρ τις δύναται τὸ τῆς ἀγνοίας ἐκφυγεῖν κακόν, καὶ καταμαθεῖν τὴν ἀλήθειαν, ὅταν ἀδεῶς τε

B καὶ

[Maximi Margunii] *Dialogus Graeci et Latini*, ed. N. Metaxas, Londini 1624, p. 7.